κρεῖττον μετ' εὐλαβείας ὑπερεύχεσθαι τοῦ πλησίον, λβ
ἢ ἐλέγχειν αὐτὸν ἐπὶ παντὶ ἁμαρτήματι:
ὁ ὀρθῶς μετανοῶν ὑπὸ ἀφρόνων χλευάζεται· λγ
τοῦτο δὲ αὐτῷ ἐστι τεκμήριον εὐαρεστήσεως:
ὁ ἀγωνιζόμενος πάντων ἐγκρατεύεται· καὶ οὐ παύεται λδ
ἕως ἂν ἐξολοθρεύσῃ ὁ κύριος τὸν σπόρον βαβυλῶνος:
λόγισαί μοι δώδεκα εἶναι τὰ πάθη τῆς ἀτιμίας· λε
ἐὰν ἓν ἐξ αὐτῶν ἀγαπήσῃς θελήματι, ἐκεῖνο
ἀναπληρώσει τὸν τόπον τῶν ἕνδεκα:
πῦρ ἐστὶ καυστικὸν ἡ ἁμαρτία· ὅσον περικόψῃς λϛ
τὴν ὕλην, τοσοῦτον σβεσθήσεται· καὶ καθόσον ἂν
ἐπιθῇς, ἀναλόγως ἐκκαυθήσεται:
ἐπαρθεὶς ἐν ἐπαίνοις, ἐκδέχου ἀτιμίαν· φησὶ λζ
γὰρ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται:
ὅταν πᾶσαν ἑκούσιον κακίαν τῇ διανοίᾳ ἀπο- λη
βάλωμεν, τότε ἂν πολεμήσωμεν τοῖς κατὰ
πρόληψιν πάθεσι: πρόληψίς ἐστι, τῶν λθ
προτέρων κακῶν μνήμη ἀκούσιος· παρὰ μὲν
τῷ ἀγωνιστῇ, πρὸ τοῦ βῆναι εἰς πάθος κωλυομένη·
παρὰ δὲ τῷ νικητῇ, ἕως προσβολῆς ἀνατρε-
πομένη: